# Ión z Chiu

Fragmenta (FGrH), Volume-Jacoby- F 3b; p. 392F

**Fr. 1** = Pausaniás, Graeciae descriptio VII, 4, 8
Ἴωνι δὲ τῶι ποιήσαντι τραγωιδίαν ἔστιν ἐν τῆι συγγραφῆι τοιάδε εἰρημένα· Ποσειδῶνα ἐς τὴν νῆσον ἔρημον οὖσαν ἀφικέσθαι καὶ νύμφηι τε ἐνταῦθα συγγενέσθαι, καὶ ὑπὸ τὰς ὠδῖνας τῆς νύμφης χιόνα ἐξ οὐρανοῦ πεσεῖν ἐς τὴν γῆν, καὶ ἀπὸ τούτου Ποσειδῶνα τῶι παιδὶ ὄνομα θέσθαι Χίον. συγγενέσθαι δὲ αὐτὸν καὶ ἑτέραι νύμφηι, καὶ γενέσθαι οἱ παῖδας Ἄγελόν τε καὶ Μέλανα. ἀνὰ χρόνον δὲ καὶ Οἰνοπίωνα ἐς τὴν Χίον καταῦραι ναυσὶν ἐκ Κρήτης, ἕπεσθαι δέ οἱ καὶ τοὺς παῖδας Τάλον καὶ Εὐάνθην καὶ Μέλανα καὶ Σάλαγόν τε καὶ Ἀθάμαντα. (9) ἀφίκοντο δὲ καὶ Κᾶρες ἐς τὴν νῆσον ἐπὶ τῆς Οἰνοπίωνος βασιλείας καὶ Ἄβαντες ἐξ Εὐβοίας. Οἰνοπίωνος δὲ καὶ τῶν παίδων ἔλαβεν ὕστερον Ἄμφικλος τὴν ἀρχήν· ἀφίκετο δὲ ἐξ Ἱστιαίας ὁ Ἄμφικλος τῆς ἐν Εὐβοίαι κατὰ μάντευμα ἐκ Δελφῶν. Ἕκτωρ δὲ ἀπὸ Ἀμφίκλου τετάρτηι γενεᾶι (βασιλείαν γὰρ ἔσχε καὶ οὗτος) ἐπολέμησεν Ἀβάντων καὶ Καρῶν τοῖς οἰκοῦσιν ἐν τῆι νήσωι, καὶ τοὺς μὲν ἀπέκτεινεν ἐν ταῖς μάχαις, τοὺς δὲ ἀπελθεῖν ἠνάγκασεν ὑποσπόνδους. (10) γενομένης δὲ ἀπαλλαγῆς πολέμου Χίοις, ἀφικέσθαι τηνικαῦτα ἐς μνήμην Ἕκτορι ὡς σφᾶς καὶ Ἴωσι δέοι συνθύειν ἐς Πανιώνιον· τρίποδα δὲ ἆθλον λαβεῖν αὐτὸν ἐπὶ ἀνδραγαθίαι παρὰ τοῦ κοινοῦ φησι τοῦ Ἰώνων. τοσαῦτα εἰρηκότα ἐς Χίους Ἴωνα εὕρισκον· οὐ μέντοι ἐκεῖνό γε εἴρηκε, καθ᾽ ἥντινα αἰτίαν Χῖοι τελοῦσιν ἐς Ἴωνας.

**Fr. 2** = Athénaios X, 28; p. 426e
περὶ δὲ ταύτης κράσεως [δύο πρὸς πέντε ἢ ἕνα πρὸς τρεῖς] Ἴων ὁ ποιητὴς ἐν τῶι Περὶ Χίου φησὶν ὅτι εὑρὼν ὁ μάντις Παλαμήδην ἐμαντεύσατο πλοῦν ἔσεσθαι τοῖς Ἕλλησι πίνουσιν τρεῖς πρὸς ἕνα κυάθους· οἱ δ᾽ ἐπιτεταμένως χρώμενοι τῶι ποτῶι δύο οἴνου ἔπινον πρὸς πέντε ὕδατος.

**Fr. 3** = Orión, Etym. p. 94, 25 Sturz (Et. M. p. 569, 34)
λόγχη· λόγχας τὰς μερίδας Ἴωνες λέγουσιν. Ἴων ἐν Χίου Κτίσει·
ἐκ τῆς Τέω λόγχης λόγχας ποιεῖν πεντήκοντα.

**Fr. 4** = Athénaios III, 44; p. 93a
τῶν δὲ χημῶν μνημονεύει Ἴων ὁ Χῖος ἐν Ἐπιδημίαις.

**Fr. 5** = Athénaios III, 69a p. 107a
καὶ ὁ Χῖος δὲ Ἴων ἐν ταῖς Ἐπιδημίαις ἔφη·
τῶι ἐπίπλωι ἐπικαλύψας.

**Fr. 6** = Athénaios XIII, 81; p. 603e-604d
φιλομεῖραξ δὲ ἦν ὁ Σοφοκλῆς, ὡς Εὐριπίδης φιλογύνης. Ἴων γοῦν ὁ ποιητὴς ἐν ταῖς ἐπιγραφομέναις Ἐπιδημίαις γράφει οὕτως·
Σοφοκλεῖ τῶι ποιητῆι ἐν Χίωι συνήντησα, ὅτε ἔπλει εἰς Λέσβον στρατηγός, ἄνδρι παιδιώδει παρ᾿ οἶνον καὶ δεξιῶι. Ἑρμεσίλεω δὲ ξένου οἱ ἐόντος καὶ προξένου Ἀθηναίων ἑστιῶντος αὐτόν, ἐπεὶ παρὰ τὸ πῦρ ἑστεὼς ὁ τὸν οἶνον ἐγχέων παῖς ... ἐὼν δῆλος ἦν εἶπέ τε 'βούλει με ἡδέως πίνειν·' φάντος δ᾿ αὐτοῦ, 'βραδέως τοίνυν καὶ πρόσφερέ μοι καὶ ἀπόφερε τὴν κύλικα'. ἔτι πολὺ μᾶλλον ἐρυθριάσαντος τοῦ παιδός, εἶπε πρὸς τὸν συγκατακείμενον· 'ὡς καλῶς Φρύνιχος (III, 561, 2 Bgk 4) ἐποίησεν εἴπας 'λάμπει δ᾿ ἐπὶ πορφυρέαις παρῇισιν φῶς ἔρωτος'. καὶ πρὸς τόδε ἠμείφθη ὁ Ἐρετριεὺς ἢ Ἐρυθραῖος, γραμμάτων ἐὼν διδάσκαλος· 'σοφὸς μὲν δὴ σύ γε εἶ, ὦ Σοφόκλεις, ἐν ποιήσει· ὅμως μέντοι γε οὐκ εὖ εἴρηκε Φρύνιχος πορφυρέας εἰπὼν τὰς γνάθους τοῦ καλοῦ. εἰ γὰρ ὁ ζωγράφος χρώματι πορφυρέωι ἐναλείψειε τουδὶ τοῦ παιδὸς τὰς γνάθους, οὐκ ἂν ἔτι καλὸς φαίνοιτο. οὐ κάρτα δὴ [καλὸν] τὸ καλὸν τῶι μὴ καλῶι φαινομένωι εἰκάζειν.' ἀνγελάσας [δ᾿] ἐπὶ τῶι Ἐρετριεῖ Σοφοκλῆς 'οὐδὲ τόδε σοι ἀρέσκει ἄρα, ὦ ξένε, τὸ Σιμωνίδειον (F 44 Diehl) κάρτα δοκέον τοῖς Ἕλλησιν εὖ εἰρῆσθαι 'πορφυρέου ἀπὸ στόματος ἱεῖσα φωνὰν παρθένος', οὐδ᾿ ὁ ποιητὴς [ἔφη] [ὁ] λέγων 'χρυσοκόμαν Ἀπόλλωνα' (Pindar. Ol. 6, 41)· χρυσέας γὰρ εἰ ἐποίησεν ὁ ζωγράφος τὰς τοῦ θεοῦ κόμας καὶ μὴ μελαίνας, χεῖρον ἂν ἦν τὸ ζωγράφημα. οὐδὲ ὁ φὰς 'ῥοδοδάκτυλον'; εἰ γάρ τις εἰς ῥόδεον χρῶμα βάψειε τοὺς δακτύλους, πορφυροβάφου χεῖρας καὶ οὐ γυναικὸς καλῆς ποιήσειεν [ἄν]'. γελασάντων δέ, ὁ μὲν Ἐρετριεὺς ἐνωπήθη τῆι ἐπιραπίξει, ὁ δὲ πάλιν τοῦ παιδὸς τῶι λόγωι εἴχετο. εἴρετο γάρ μιν ἀπὸ τῆς κύλικος κάρφος τῶι μικρῶι δακτύλωι ἀφαιρετέοντα, εἰ καθορᾶι τὸ κάρφος. φάντος δὲ καθορᾶν, 'ἀπὸ τοίνυν φύσησον αὐτό, ἵνα μὴ πλύνοιτο ὁ δάκτυλός σοι'. προσαγαγόντος δ᾿ αὐτοῦ τὸ πρόσωπον πρὸς τὴν κύλικα, ἐγγυτέρω τὴν κύλικα τοῦ ἑαυτοῦ στόματος ἦγεν, ἵνα δὴ ἡ κεφαλὴ τῆι κεφαλῆι ἀσσοτέρα γένηται· ὡς δ᾿ ἦν οἱ κάρτα πλησίον, περιλαβὼν τῆι χειρὶ ἐφίλησεν. ἐπικροτησάντων δὲ πάντων σὺν γέλωτι καὶ βοῆι ὡς εὖ ὑπηγάγετο τὸν παῖδα, 'μελετῶ [εἶπεν] στρατηγεῖν, ὦ ἄνδρες, ἐπειδήπερ Περικλῆς ποιεῖν μέν [με] ἔφη, στρατηγεῖν δ᾿ οὐκ ἐπίστασθαι. ἆρ᾿ οὖν οὐ κατ᾿ ὀρθόν μοι πέπτωκεν τὸ στρατήγημα;' τοιαῦτα πολλὰ

δεξιῶς ἔλεγέν τε καὶ ἔπρησσεν, ὅτε πίνοι [ἢ πράσσοι]. τὰ μέντοι πολιτικὰ οὔτε σοφὸς οὔτε ῥεκτήριος ἦν, ἀλλ᾽ ὡς ἄν τις εἷς τῶν χρηστῶν ᾿Αθηναίων.

**Fr. 7** = Schol. M Aischyl. Pers. 432
Ἴων ἐν ταῖς ᾿Επιδημίαις παρεῖναι Αἰσχύλον ἐν τοῖς Σαλαμινιακοῖς φησίν.

**Fr. 8** = Pollux 2, 88
παρὰ δ᾽ Ἴωνι τῶι τραγικῶι ἐν τῶι ἐπιγραφομένωι Συνεκδημητικῶι καὶ ᾽σπανοπώγων᾽ τις ὀνομάζεται.

**Fr. 9** = Diogenés Laertios, Vitae philosophorum II, 23
Ἴων δὲ ὁ Χῖος καὶ νέον ὄντα [τὸν Σωκράτην] εἰς Σάμον σὺν ᾿Αρχελάωι ἀποδημῆσαι.

**Fr. 10** = Lexicon Sabbait. p. 1, 20 Pap–Ke
Ἴων εἴρηκεν· αὐτοφρόνων καὶ ὁμοσπόνδων.

**Fr. 11** = Fot. Berol. p. 40, 23 Rei
.... ἀντὶ τοῦ ᾿Αθηναίας φασὶν ἀστὰς λέγεσθαι καὶ ᾿Αττικάς. πλὴν πολλή γε ἡ χρῆσις τῆς φωνῆς ἐπὶ τῶν γυναικῶν παρὰ τοῖς ἀρχαίοις, ὥς οἵ τε προειρημένοι ποιηταὶ μαρτυροῦσι καὶ Δίφιλος ἐν ᾿Αμαστρίδι (II, 543, 10 K)· καὶ Ἴων δὲ τὴν Θεμιστοκλέους θυγατέρα ᾽᾿Αθηναίαν ξένην᾽ φησί, καὶ Πίνδαρος ἐν Σκολίοις.

**Fr. 12** = Plútarchos, Cim. 5, 3
ἦν δὲ καὶ τὴν ἰδέαν οὐ μεμπτός, ὥς Ἴων ὁ ποιητής φησιν, ἀλλὰ μέγας, οὔληι καὶ πολλῆι τριχὶ κομῶν τὴν κεφαλήν.

**Fr. 13** = Plútarchos, Cim. 9, 1
συνδειπνῆσαι δὲ τῶι Κίμωνί φησιν ὁ Ἴων, παντάπασι μειράκιον ἥκων εἰς ᾿Αθήνας ἐκ Χίου, παρὰ Λαομέδοντι. καὶ τῶν σπονδῶν γενομένων, παρακληθέντος ᾆισαι καὶ ᾄισαντος οὐκ ἀηδῶς, ἐπαινεῖν τοὺς παρόντας ὡς δεξιώτερον Θεμιστοκλέους· ἐκεῖνον γὰρ ᾄιδειν μὲν οὐ φάναι μαθεῖν οὐδὲ κιθαρίζειν, πόλιν δὲ ποιῆσαι μεγάλην καὶ πλουσίαν ἐπίστασθαι. (2) τοὐντεῦθεν, οἷον εἰκὸς ἐν πότωι, τοῦ λόγου ῥυέντος ἐπὶ τὰς πράξεις τοῦ Κίμωνος καὶ μνημονευομένων τῶν μεγίστων, αὐτὸν ἐκεῖνον ἓν διελθεῖν στρατήγημα τῶν ἰδίων ὡς σοφώτατον. (3) ἐπεὶ γὰρ ἐκ Σηστοῦ καὶ Βυζαντίου πολλοὺς τῶν βαρβάρων αἰχμαλώτους λαβόντες οἱ σύμμαχοι τῶι Κίμωνι διανεῖμαι προσέταξαν, ὁ δὲ χωρὶς μὲν αὐτοὺς χωρὶς δὲ τὸν περὶ τοῖς σώμασι κόσμον

αὐτῶν ἔθηκεν, ᾐτιῶντο τὴν διανομὴν ὡς ἄνισον. (4) ὁ δὲ τῶν μερίδων ἐκέλευσεν αὐτοὺς ἑλέσθαι τὴν ἑτέραν, ἣν δ᾽ ἂν ἐκεῖνοι καταλίπωσιν ἀγαπήσειν ᾽Αθηναίους. ῾Ηροφύτου δὲ τοῦ Σαμίου συμβουλεύσαντος αἱρεῖσθαι τὰ Περσῶν μᾶλλον ἢ Πέρσας, τὸν μὲν κόσμον αὐτοὶ ἔλαβον, ᾽Αθηναίοις δὲ τοὺς αἰχμαλώτους ἀπέλιπον. (5) καὶ τότε μὲν ὁ Κίμων ἀπῄει γελοῖος εἶναι δοκῶν διανομεύς, τῶν μὲν συμμάχων ψέλια χρυσᾶ καὶ μανιάκας καὶ στρεπτοὺς καὶ κάνδυας καὶ πορφύραν φερομένων, τῶν δ᾽ ᾽Αθηναίων γυμνὰ σώματα κακῶς ἠσκημένα πρὸς ἐργασίαν παραλαβόντων. (6) μικρὸν δ᾽ ὕστερον οἱ τῶν ἑαλωκότων φίλοι καὶ οἰκεῖοι καταβαίνοντες ἐκ Φρυγίας καὶ Λυδίας ἐλυτροῦντο μεγάλων χρημάτων ἕκαστον, ὥστε τῶι Κίμωνι τεσσάρων μηνῶν τροφὰς εἰς τὰς ναῦς ὑπάρξαι καὶ προσέτι τῆι πόλει χρυσίον οὐκ ὀλίγον ἐκ τῶν λύτρων περιγενέσθαι.

**Fr. 14** = Plútarchos, Cim. 16, 8
πέμπουσιν οὖν οἱ Λακεδαιμόνιοι Περικλείδαν εἰς ᾽Αθήνας δεόμενοι βοηθεῖν ..... (9) ᾽Εφιάλτου δὲ κωλύοντος καὶ διαμαρτυρουμένου μὴ βοηθεῖν .... Κίμωνά φησι Κριτίας (Iη) .... ἀναπείσαντα τὸν δῆμον ἐξελθεῖν βοηθοῦντα μετὰ πολλῶν ὁπλιτῶν. (10) ὁ δ᾽ ῎Ιων ἀπομνημονεύει καὶ τὸν λόγον, ὧι μάλιστα τοὺς ᾽Αθηναίους ἐκίνησε, παρακαλῶν μήτε τὴν ῾Ελλάδα χωλὴν μήτε τὴν πόλιν ἑτερόζυγα περιιδεῖν γεγενημένην.

**Fr. 15** = Plútarchos, Pericl. 5, 3
ὁ δὲ ποιητὴς ῎Ιων μοθωνικήν φησι τὴν ὁμιλίαν καὶ ὑπότυφον εἶναι τοῦ Περικλέους, καὶ ταῖς μεγαλαυχίαις αὐτοῦ πολλὴν ὑπεροψίαν ἀναμεμεῖχθαι καὶ περιφρόνησιν τῶν ἄλλων· ἐπαινεῖ δὲ τὸ Κίμωνος ἐμμελὲς καὶ ὑγρὸν καὶ μεμουσωμένον ἐν ταῖς [συμ]περιφοραῖς. ἀλλ᾽ ῎Ιωνα μὲν ὥσπερ τραγικὴν διδασκαλίαν ἀξιοῦντα τὴν ἀρετὴν ἔχειν τι πάντως καὶ σατυρικὸν μέρος ἐῶμεν.

**Fr. 16** = Plútarchos, Pericl. 28, 7
θαυμαστὸν δέ τι καὶ μέγα φρονῆσαι καταπολεμήσαντα τοὺς Σαμίους φησὶν αὐτὸν [τὸν Περικλέα] ὁ ῎Ιων, ὡς τοῦ μὲν ᾽Αγαμέμνονος ἔτεσι δέκα βάρβαρον πόλιν, αὐτοῦ δὲ μησὶν ἐννέα τοὺς πρώτους καὶ δυνατωτάτους ᾽Ιώνων ἑλόντος.

**Fr. 17** = Plútarchos, De fort. Rom. 1; p. 316d
῎Ιων μὲν οὖν ὁ ποιητὴς ἐν τοῖς δίχα μέτρου καὶ καταλογάδην αὐτῶι γεγραμμένοις φησὶν ἀνομοιότατον πρᾶγμα τῆι σοφίαι τὴν τύχην οὖσαν ὁμοιοτάτων πραγμάτων

γίνεσθαι δημιουργόν· αὔξουσιν ἀμφότεραι πόλεις, κοσμοῦσιν ἄνδρας, εἰς δόξαν ἀνάγουσιν, εἰς δύναμιν, εἰς ἡγεμονίαν.

**Fr. 17b** = Plútarchos, Quaest. symp. 8, 1, 1; 717b
οὐ φαύλως εἰπεῖν Ἴωνα περὶ τῆς τύχης ὅτι πολλὰ τῆς σοφίας διαφέρουσα πλεῖστ᾽ αὐτῆι ὅμοια ποιεῖ.

**Fr. 18** = Pollux 2, 95 (Tzetzés, Chil. 3, 957/8)
ὁ δὲ Νικοκλέους τοῦ Κυπρίου πατὴρ .... (τὸ μὲν ὄνομα αὐτῶι Τίμαρχος ἦν), διστοίχους δ᾽ εἶχεν ἄρα τῶι ᾽Αριστοτέλους λόγωι (F 527 Rose) τοὺς ὀδόντας, κατὰ δὲ τὴν Ἴωνος τοῦ Χίου δόξαν (FTG p. 738, 30 N2) τριστοίχους ῾Ηρακλῆς.

**Fr. 19** = Pollux 6, 98
βομβυλιὸς δὲ τὸ στενὸν ἔκπωμα καὶ βομβοῦν ἐν τῆι πόσει, ὡς ᾽Αντισθένης ἐν Προτρεπτικῶι· τὸ δὲ ποτήριον Ἴων (p. 745, 64 N2) ἐκάλεσεν.

**Fr. 20** = Varro, De orig. ling. Lat. fr. 46; p. 201 Goetz–Schoell
ut Ion scribit, quinta vicesima est littera quam vocant agma, cuius forma nulla est .... Graeci et Accius noster bina g scribunt, alii n et g.

**Fr. 21** = Frynichos, Eclogae 287 Ruth
παραθήκην ῾Ιππίαν (B 10) καὶ Ἴωνά τινα συγγραφέα φασὶν εἰρηκέναι· ἡμεῖς δὲ τοῦτο παρακαταθήκην ἐροῦμεν ὡς Πλάτων καὶ Θουκυδίδης καὶ Δημοσθένης.

**Fr. 22** = Plútarchos, De prof. in virt. 8; p. 79de (Stobaios, Florileg. III, 29, 89)
ἀλλ᾽ οἵ γε μᾶλλον ἔτι προκόπτοντες οὐκ ἀπὸ λόγων μόνον ἀλλὰ καὶ θεαμάτων καὶ πραγμάτων πάντων ὠφελεῖσθαι δύνανται .... οἷα καὶ περὶ Αἰσχύλου λέγεται καὶ περὶ ἄλλων ὁμοίων. Αἰσχύλος μὲν γὰρ ᾽Ισθμοῖ θεώμενος ἀγῶνα πυκτῶν, ἐπεὶ πληγέντος τοῦ ἑτέρου τὸ θέατρον ἐξέκραγε, νύξας Ἴωνα τὸν Χῖον ᾽ὁρᾶις᾽ ἔφη, ᾽οἷον ἡ ἄσκησίς ἐστιν· ὁ πεπληγὼς σιωπᾶι, οἱ δὲ θεώμενοι βοῶσιν᾽.

**Fr. 23** = Vita Sophocl. 20
ἠθοποιεῖ τε καὶ ποικίλλει [Σοφοκλῆς] καὶ τοῖς ἐπινοήμασι τεχνικῶς χρῆται, ῾Ομηρικὴν ἐκματτόμενος χάριν, ὅθεν εἰπεῖν ᾽Ιωνικόν τινα μόνον Σοφοκλέα τυγχάνειν ῾Ομήρου μαθητήν.

**Fr. 24a** = Harpokr. s.v. Ἴων· (T 3)

φιλόσοφόν τι σύγγραμμα τὸν Τριαγμὸν ἐπιγραφόμενον, ὅπερ Καλλίμαχος ἀντιλέγεσθαί φησιν ὡς ᾿Επιγένους (?)· ἐν ἐνίοις δὲ καὶ πληθυντικῶς ἐπιγράφεται ᾿Τριαγμοί᾿, καθὰ Δημήτριος ὁ Σκήψιος καὶ ᾿Απολλωνίδης ὁ Νικαεὺς ἀναγράφουσιν. ... δὲ ἐν αὐτῶι τάδε ... ἀρχὴ δέ μοι τοῦ λόγου· πάντα τρία καὶ [πλέον τοῦδε] πλείω [οὐδὲν οὐδὲ] ἐλάσσω (τούτων τῶν τριῶν). ἑνὸς ἑκάστου ἀρετὴ τριάς, σύνεσις καὶ κράτος καὶ τύχη.

**Fr. 24b** = Isokratés, Antidosis II, 268
τῶν παλαιῶν σοφιστῶν, ὧν ὁ μὲν ἄπειρον τὸ πλῆθος ἔφησεν εἶναι τῶν ὄντων, ᾿Εμπεδοκλῆς δὲ τέτταρα καὶ νεῖκος καὶ φιλίαν ἐν αὐτοῖς, Ἴων δ᾿ οὐ πλείω τριῶν, ᾿Αλκμαίων δὲ δύο μόνα, Παρμενίδης δὲ καὶ Μέλισσος ἕν, Γοργίας δὲ παντελῶς οὐδέν.

**Fr. 24c** = Ióannés Filoponos, De generatioe et corruptione; p. 207, 18 Vit.
πῦρ μὲν καὶ γῆν ὑπέθετο Παρμενίδης, ταὐτὰ δὲ μετὰ τοῦ ἀέρος Ἴων ὁ Χῖος ὁ τραγωιδοποιός, ᾿Εμπεδοκλῆς δὲ τὰ τέσσαρα ὑπέθετο.

**Fr. 25a** = Diogenés Laertios, Vitae philosophorum VIII, 8
Ἴων δὲ ὁ Χῖος ἐν τοῖς Τριαγμοῖς φησιν αὐτὸν [Πυθαγόραν] ἔνια ποιήσαντα ἀνενεγκεῖν εἰς ᾿Ορφέα.

**Fr. 25b** = Kléméns Alex., Stromata I, 131, 4
Ἴων δὲ ὁ Χῖος ἐν τοῖς Τριαγμοῖς καὶ Πυθαγόραν εἰς ᾿Ορφέα ἀνενεγκεῖν τινα ἱστορεῖ. (5) ᾿Επιγένης δὲ ἐν τοῖς Περὶ τῆς εἰς ᾿Ορφέα [ἀναφερομένης] ποιήσεως Κέρκωπος εἶναι λέγει τοῦ Πυθαγορείου τὴν Εἰς Ἅιδου κατάβασιν καὶ τὸν ῾Ιερὸν Λόγον, τὸν δὲ Πέπλον καὶ τὰ Φυσικὰ Βροντίνου.

**Fr. 25c** = Suidás, Lexicon s.v. ᾿Ορφεὺς Λειβήθρων·
... ἔγραψε Τριασμούς (λέγονται δὲ εἶναι Ἴωνος τοῦ τραγικοῦ)· ἐν δὲ τούτοις τὰ ῾Ιεροστολικὰ καλούμενα, Κλήσεις κοσμικαί, Νεοτευκτικά, ῾Ιεροὺς λόγους ἐν ῥαψωιδίαις κδ (λέγονται δὲ εἶναι Θεογνήτου τοῦ Θεσσαλοῦ, οἱ δὲ Κέρκωπος τοῦ Πυθαγορείου) ... καὶ Φυσικά, ἃ Βροντίνου φασίν.

**Fr. 26** = Áetios, Placita philosoph. II, 25, 11 (Doxogr. p. 356b21)
Περὶ σελήνης οὐσίας ... Ἴων σῶμα τῆι μὲν ὑελοειδὲς διαυγές, τῆι δὲ ἀφεγγές.